Ακαδημία Αθηνών / Academy of Athens

# Σ

**σάλος.** Σάλος/ἀναταραχή, commotion/agitation, Δημόκριτος A 77 (DK II 103,25) *φοιτᾶν δὲ ταῦτα πανταχόθεν ἀπιόντα καὶ σκευῶν καὶ ἱματίων καὶ φυτῶν, μάλιστα δὲ ζῴων ὑπὸ σ ά λ ο υ πολλοῦ καὶ θερμότητος* 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σ ά λ ο υ καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

**σαπέν.** Βλ. **σήπεσθαι.**

**σάρκινος.** Σάρκινος, fleshy, Ἐμπεδοκλῆς 99 *σ ά ρ κ ι ν ο ς ὄζος.* Πρβλ. *σαρκώδης.*

**σαρκώδης.** Σαρκώδης, fleshy, Διογένης 6.49 *τὸ δ' αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σ α ρ κ ω δ ῶ ν ἐκπίνεται.* Πρβλ. *σάρκινος.*

**σάρξ.** Σάρκα/τὸ σαρκῶδες μέρος τοῦ σώματος, flesh/the fleshy part of the body, Ἐμπεδοκλῆς 98.5 *αἷμά τε γέντο καὶ ἄλλης εἴδεα σ α ρ κ ὸ ς* 100.2 *πᾶσι λίφαιμοι σ α ρ κ ῶ ν σύριγγες πύματον κατὰ σῶμα τέτανται* 126 *σ α ρ κ ῶ ν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι* 137.6 *φίλας κατὰ σ ά ρ κ α ς ἔδουσιν* Πυθαγόρειοι C 6 (DK II 466,13) *κυάμων ... ἀπέχεσθαι καθάπερ ἀνθρωπίνων σ α ρ κ ῶ ν* Ἀναξαγόρας 10 *πῶς γὰρ ἂν ... ἐκ μὴ τριχὸς γένοιτο θρὶξ καὶ σ ὰ ρ ξ ἐκ μὴ σ α ρ κ ό ς;* Διογένης 6.42 *ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σ α ρ κ ὸ ς τείνουσιν εἰς τοὺς νεφροὺς* Δημόκριτος 5d (τίτλ.) *Περὶ φύσεως Β ἢ Περὶ ἀνθρώπου φύσιος ἢ Περὶ σ α ρ κ ό ς.*

**σαφήνεια.** Σαφήνεια, clearness, Ἀλκμαίων 1 *περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σ α φ ή ν ε ι α ν μὲν θεοὶ ἔχοντι, ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι.* Πρβλ. *Ἀσάφεια.*

**σαφής.** Σαφὴς/ἀκριβής, clear/exact, Ἀρχύτας 1.6 *περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δυσίων παρέδωκαν ἁμῖν σ α φ ῆ διάγνωσιν καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν καὶ σφαι-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ